# Psalm 82

Septuaginta (LXX)

**1** ᾠδὴ ψαλμοῦ τῷ ασαφ

**2** ὁ θεός τίς ὁμοιωθήσεταί σοι μὴ σιγήσῃς μηδὲ καταπραΰνῃς ὁ θεός

**3** ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν

**4** ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου

**5** εἶπαν δεῦτε καὶ ἐξολεθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα ισραηλ ἔτι

**6** ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτό κατὰ σοῦ διαθήκην διέθεντο

**7** τὰ σκηνώματα τῶν ιδουμαίων καὶ οἱ ισμαηλῖται μωαβ καὶ οἱ αγαρηνοί

**8** γεβαλ καὶ αμμων καὶ αμαληκ καὶ ἀλλόφυλοι μετὰ τῶν κατοικούντων τύρον

**9** καὶ γὰρ καὶ ασσουρ συμπαρεγένετο μετ' αὐτῶν ἐγενήθησαν εἰς ἀντίλημψιν τοῖς υἱοῖς λωτ διάψαλμα

**10** ποίησον αὐτοῖς ὡς τῇ μαδιαμ καὶ τῷ σισαρα ὡς ὁ ιαβιν ἐν τῷ χειμάρρῳ κισων

**11** ἐξωλεθρεύθησαν ἐν αενδωρ ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ

**12** θοῦ τοὺς ἄρχοντας αὐτῶν ὡς τὸν ωρηβ καὶ ζηβ καὶ ζεβεε καὶ σαλμανα πάντας τοὺς ἄρχοντας αὐτῶν

**13** οἵτινες εἶπαν κληρονομήσωμεν ἑαυτοῖς τὸ ἁγιαστήριον τοῦ θεοῦ

**14** ὁ θεός μου θοῦ αὐτοὺς ὡς τροχόν ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου

**15** ὡσεὶ πῦρ ὃ διαφλέξει δρυμόν ὡς εἰ φλὸξ κατακαύσαι ὄρη

**16** οὕτως καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου καὶ ἐν τῇ ὀργῇ σου ταράξεις αὐτούς

**17** πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας καὶ ζητήσουσιν τὸ ὄνομά σου κύριε

**18** αἰσχυνθήτωσαν καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθωσαν

**19** καὶ γνώτωσαν ὅτι ὄνομά σοι κύριος σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν


Druckausgabe erzeugt am 07.07.2025 auf bibelkommentare.de